Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν. 15 Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας, ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου. 16 Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναί, Κύριε· σὺ οἶδας, ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου. 17 Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος, ὅτι εἶπεν αὐτὸ τὸ τρίτον, φιλεῖς με· καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις, ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου. 18 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. 19 Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ· Ἀκολούθει μοι. 20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν, ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; 21 Τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; 22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Σύ ἀκολούθει μοι. 23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει, ἀλλ᾽ Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; 24 Οὗτός ἐστιν ὁ μαθητὴς, ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν, ὅτι ἀληθὴς ἐστιν ἡ μαρτυρία αὐτοῦ. 25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.
Δόξα σοι, Κύριε, δόξα σοι.

Ν΄ Ψαλμὸς

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διὰ παντὸς.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι

Μουσική Συλλογή
Πρωγάκη 1909 σ.157#



Ταις των α πο στο ολων πρε σβει αις ε λε η μον ε

ξα λει ψον τα πλη θη των ε μω ων εγ κλη μα των

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων

α μην ζ'

Ταις της Θε ο το οκου πρε σβει αις ε λε η μον ε

ξα λει ψον τα πλη θη των ε μω ων εγ κλη μα των

Ε λε η σον με ο Θε ος κα τα το με

γα ε λε ος σου και κα τα το πλη θος των οι κτιρ μων

σου ε ξα λει ψον το α νο μη μα μου

ἦχος β′

Πέτρε, κορυφαῖε τῶν ἐνδόξων ἀποστόλων, ἡ πέτρα τῆς πίστεως, καὶ Παῦλε θεσπέσιε, τῶν ἁγίων Ἐκκλησιῶν ὁ ῥήτωρ καὶ φωστήρ, τῷ θείῳ θρόνῳ παριστάμενοι, ὑπέρ ἡμῶν Χριστῷ πρεσβεύσατε.

Μανουήλ Πρωτοψάλτου	Στεφάνου Λαμπαδαρίου	Παναγιώτου Κηλτζανίδου
Κωνσταντίνου Πρίγγου	Κωνσταντίνου Παπαγιάννη	Κωνσταντίνου Λάμπρου

Σῶσον ὁ Θεὸς τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ἦχος Δι

Πανδέκτη
Ὄρθρος 1850 σ.501#



Κυ ρι ε ε λε ε ε ε η η η σο ο ον

Ἐλέει καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Κανόνες

Κανὼν α΄ τῆς ἑορτῆς, ᾠδὴ α΄

ἦχος βαρὺς

«Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι, ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἔργῳ, ὡς πάλαι τοῖς μαθηταῖς ἐπηγγείλω, τὸ Παράκλητον Πνεῦμα ἐξαποστείλας Χριστέ, ἔλαμψας τῷ κόσμῳ φῶς, φιλάνθρωπε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νόμῳ τὸ πάλαι προκηρυχθὲν καὶ προφήταις, ἐπληρώθη, τοῦ θείου Πνεύματος σήμερον· πᾶσι γὰρ πιστοῖς χάρις ἐκκέχυται.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν β΄ τῆς ἑορτῆς, ᾠδὴ α΄

ἦχος δ΄

«Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐρρητόρευσε τὸν θεόγραφον νόμον· Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου, ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἔφη τὸ σεπτὸν καὶ σεβάσμιον στόμα. Νοσφισμὸς ὑμῖν οὐ γενήσεται φίλοις. Ἐγὼ γὰρ εἰς πατρῷον ὕψιστον θρόνον συνεδριάζων, ἐκχεῶ τοῦ Πνεύματος, λάμψαι ποθοῦσι, τὴν χάριν τὴν ἄφθονον

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὅρος βεβηκώς, ἀτρεκέστατος Λόγος, γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν. Ἔργον γὰρ ἐκπεράνας, εὔφρανε φίλους, Πνοῇ βιαίᾳ, καὶ πυρὸς γλωττήμασι, νείμας τὸ Πνεῦμα Χριστός, ὡς ὑπέσχετο.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ α΄

Οὐκ ἔστι σοι ὅμοιος

ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν κορυφαιότατον, τῶν ἀποστόλων σήμερον, πρωτοκλήτου ἀδελφόν, θεοπνεύστοις ἐν ᾠδαῖς, ἐπαξίως ὑμνήσωμεν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὲ ὁ προαιώνιος, προεγνωκὼς προώρισε, παμμακάριστε Πέτρε, ὡς προστάτην Ἐκκλησίας καὶ πρόεδρον.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐ σάρξ οὐδὲ αἷμά σοι, ἀλλ᾽ ὁ Πατὴρ ἐνέπνευσε, τον Χριστὸν θεολογεῖν, υἱὸν Θεοῦ ἀληθινὸν τοῦ ὑψίστου ἀπόστολε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὸ ὄρος τὸ ἅγιον, τὸ ὑπὲρ ἔννοιαν ὄχημα, τὴν μητέρα τοῦ Θεοῦ, καὶ παρθένον ἀληθῶς μετὰ τόκον ὑμνήσωμεν.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν ἀπ. Παύλου, ᾠδὴ α΄

Ἡ κεκομμένη

ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ ὥσπερ ὄντα καλῶν τὰ ἀνύπαρκτα, Χριστὸς τῇ θείᾳ γνώσει, Παῦλε παμμακάριστε, αὐτὸς ἐκ μητρικῆς γαστρὸς σε ἐξελέξατο, βαστάσαι, ἐναντίον τῶν ἐθνῶν, αὐτοῦ τὸ θεῖον ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· ἐνδόξως γὰρ δεδόξασται.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν ἐσομένην μηνύων σοι ἔλλαμψιν, τῆς εὐσεβείας Παῦλε, καὶ πλάνης τὴν καθαίρεσιν, Χριστὸς ἐπιφανείς, ἐν ὄρει ἀστραπόμορφος, τὸ ὄμμα μὲν σκοτίζει τῆς σαρκός, τὴν ψυχὴν συνετίζει δέ, τῆς Τριάδος τῇ γνώσει· ἐνδόξως γὰρ δεδόξασται.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Περιτομὴν μὲν τελῶν ὀκταήμερον, καὶ ζηλωτὴς πατρῴων Παῦλε παραδόσεων, Ἑβραίων ἐκ σπορᾶς φυλῆς Βενιαμίτιδος, ἐν νόμῳ Φαρισαῖός τε δειχθείς, ἡγήσω πάντα σκύβαλα, καὶ Χριστὸν ἐκέρδησας· ἐνδόξως γὰρ δεδόξασται.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἄχραντε μήτηρ Θεοῦ παντοκράτορος, ἡ βασιλίδος φυλῆς, Δέσποινα βλαστήσασα, καὶ μόνη τον Θεόν, τὸν πάντων βασιλεύοντα, γεννήσασα σαρκὶ ὑπερφυῶς, κινδύνων με διάσωσον, τῷ Υἱῷ σου ψάλλοντα· ἐνδόξως γὰρ δεδόξασται.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν α΄ τῆς ἑορτῆς, ᾠδὴ γ΄

ἦχος βαρὺς

«Τὴν ἐξ ὕψους δύναμιν τοῖς μαθηταῖς, Χριστέ, ἕως ἂν ἐνδύσησθε ἔφης, καθίσατε ἐν Ἱερουσαλήμ, ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρός ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε». (β΄)

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡ τοῦ θείου Πνεύματος ἐπιδημήσασα δύναμις, τὴν μερισθεῖσαν πάλαι φωνήν, κακῶς ὁμονοησάντων, εἰς μίαν ἁρμονίαν θείως συνῆψε, γνῶσιν συνετίζουσα πιστοὺς τῆς Τριάδος, ἐν ᾗ ἐστερεώθημεν.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν β΄ τῆς ἑορτῆς, ᾠδὴ γ΄

ἦχος δ΄

«Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης, μόνη προσευχὴ τῆς προφήτιδος πάλαι Ἄννης, φερούσης πνεῦμα συντετριμμένον, πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἄληπτός ἐστιν ἡ θεαρχικωτάτη· ῥήτρας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους, ἅλις σοφιστὰς συστομίζοντας λόγῳ, καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους, λαοὺς ἀπείρους, ἀστραπῇ τοῦ Πνεύματος

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἣν ἐκπορευτὸν ἐξ ἀγεννήτου φάους, τὸ πανσθενουργόφωτον ἄφθιτον σέλας, οὗ τὴν δι᾽ Υἱοῦ πατρικῆς ἐξουσίας, νῦν ἐμφανίζει συμφυῆ φρυκτωρίαν, πυρῶδες ἦχος ἐν Σιὼν τοῖς ἔθνεσιν.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ γ΄

Οὐκ ἐν σοφίᾳ

ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μακάριόν σε, τὸ γλυκύτατον στόμα Χριστοῦ τοῦ Θεοῦ, καὶ ταμίαν ἀσφαλῆ, τῆς βασιλείας ἀνέδειξε· διὸ ἀνυμνοῦμέν σε Πέτρε ἀπόστολε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπὶ τὴν πέτραν, τῆς σῆς θεολογίας ἐπήξατο, ὁ δεσπότης Ἰησοῦς, τὴν Ἐκκλησίαν ἀκλόνητον, ἐν ᾗ σε ἀπόστολε Πέτρε δοξάζομεν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ὑπέρτερος, τῶν ἀγγέλων ὁ Πέτρος ἐν σώματι· ἐν γὰρ τῇ ἐπιφανεῖ, ἐλεύσει τοῦτον Χριστὸς ὁ Θεός, κριτήν τε καὶ σύνεδρον, ἔσεσθαι ἔφησεν.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀπειρόγαμε, ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονούμενόν με στερέωσον· οὐ γὰρ ἐστιν ἄχραντε, πλήν σου βοήθεια.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ γ΄

Σὺ εἶ τὸ στερέωμα

ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ λίθον θεμέλιον, ταῖς τῶν πιστῶν ψυχαῖς τέθεικας, πολυτελῆ, ἀκρογωνιαῖον, τὸν σωτῆρα καὶ Κύριον.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πάντοτε τὴν νέκρωσιν, τοῦ Ἰησοῦ ἐν τῷ σώματι, εἰλικρινῶς, Παῦλε περιφέρων, ἠξιώθης τῆς ὄντως ζωῆς.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Παῦλε παμμακάριστε, τῷ θεμελίῳ σου πρέσβευε, τῶν ἀρετῶν ἐποικοδομεῖσθαι, εὐσεβῶν τὴν λαμπρότητα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Σὲ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας πάναγνε, αἱ γενεαί, πᾶσαι τῶν ἀνθρώπων· διὰ σοῦ νῦν σῳζόμεναι.

Ἔτι καὶ ἔτι... Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον... Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου... Σοί, Κύριε.
Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν... Ἀμήν.

Κοντάκιον

ἦχος πλ.δ΄

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

Παναγιώτου Κηλτζανίδου — Γαβριὴλ Κουντιάδου — Χρυσάνθου Θεοδοσοπούλου

Οἶκος

Ταχεῖαν καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου, Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν, μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν, ἀλλὰ ἀεὶ ἡμᾶς πρόφθασον. Ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ, ὥς περ καὶ τοῖς ἀποστόλοις σου πάντοτε συνῇς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν οἰκτίρμον, ἵνα συνημμένοι σοι ὑμνῶμεν, καὶ δοξολογῶμεν τὸ πανάγιόν σου Πνεῦμα.

Ὑπακοὴ ἀποστόλου Παύλου

ἦχος πλ.δ΄

Ποία φυλακὴ οὐκ ἔσχε σε δέσμιον; ποία δὲ Ἐκκλησία οὐκ ἔχει σε ῥήτορα; Δαμασκὸς μέγα φρονεῖ ἐπὶ σοὶ Παῦλε· εἶδε γὰρ σε σκελισθέντα φωτί· Ῥώμη σου τὸ αἷμα δεξαμένη, καὶ αὐτὴ κομπάζει· ἀλλ᾽ ἡ Ταρσὸς πλέον χαίρει, καὶ πόθῳ τιμᾷ σου τὰ σπάργανα. Ἀλλ᾽ ὦ Παῦλε ἀπόστολε, τὸ καύχημα τῆς οἰκουμένης, προφθάσας ἡμᾶς στήριξον.

Κωνσταντίνου Παπαγιάννη

Κανὼν α΄ τῆς ἑορτῆς, ᾠδὴ δ΄

ἦχος βαρὺς

«Κατανοῶν ὁ προφήτης, τὴν ἐπ᾽ ἐσχάτων σου Χριστὲ ἔλευσιν, ἀνεβόα· τὴν σὴν εἰσακήκοα Κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι, τοὺς χριστούς σου ἐλήλυθας».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ ἐν προφήταις λαλήσας, καὶ διὰ νόμου κηρυχθείς, πρῴην τοῖς ἀτελέσι, Θεὸς ἀληθὴς ὁ Παράκλητος, τοῖς τοῦ Λόγου ὑπηρέταις καὶ μάρτυσι, γνωρίζεται σήμερον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σῆμα θεότητος φέρον, τοῖς ἀποστόλοις ἐν πυρί, Πνεῦμα κατεμερίσθη, καὶ ξέναις ἐν γλώσσαις ἐνέφηνεν, ὡς πατρόθεν θεῖον σθένος, ἐρχόμενον ἐστὶν αὐτοκέλευστον.

Κανὼν β΄ τῆς ἑορτῆς, ᾠδὴ δ΄

ἦχος δ΄

«Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος, Λόγος προελθών, Πατρὸς ἐξ ἀναιτίου. Ἰσοσθενές σου Πνεῦμα τοῖς ἀποστόλοις, νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης, ᾄδουσι· Δόξα τῷ κράτει σου, Κύριε».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεσίας, Λόγῳ κεραννὺς συντεθειμένῃ φύσει, ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου νενυγμένης σου πλευρᾶς, ὦ Θεοῦ Λόγε, ἐπισφραγίζων τῇ ζέσει τοῦ Πνεύματος.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Κάμπτει τὰ πάντα τῷ Παρακλήτῳ γόνυ, γόνῳ τε Πατρός, Πατρὶ συμφυεστάτῳ. Ἐν γὰρ προσώποις οἶδε τριττοῖς οὐσίαν, νημερτές, ἀπρόσιτον, ἄχρονον, μίαν. Ἔλαμψε φῶς γὰρ ἡ χάρις τοῦ Πνεύματος.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τελεῖσθε πάντες τῇ θεαρχικωτάτῃ, ὅσοι λατρευταὶ τῆς τριφεγγοῦς οὐσίας. Ὑπερφυῶς τελεῖ γὰρ ὡς εὐεργέτης, καὶ πυρσολαμπεῖ Χριστὸς εἰς σωτηρίαν, ὅλην πορίζων τὴν χάριν τοῦ Πνεύματος.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ δ΄

Οὗτος ὁ Θεὸς ἡμῶν

ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Βροτῶν ἁλιέα σε, ὡς ἐπηγγείλατο Χριστός, ἀπειργάσατο θεῖον, τῆς αὐτοῦ Ἐκκλησίας, πρώτῳ ἐγχειρίσας τοὺς οἴακας.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πρὸς σοῦ δυσωπούμενος, ὁ ζωοδότης, Ἰησοῦς, ὁ δεσμεῖν τε καὶ λύειν, δεδωκώς σοι εὐθύνας, Πέτρε γενηθήτω μοι ἵλεως.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χριστοῦ τὰ βασίλεια, ἀνεῳχθῆναι ἐκτενῶς, καθικέτευσον Πέτρε, τοῖς τὴν θείαν σου μνήμην, πίστει ἀδιστάκτῳ γεραίρουσι.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Κυρία πανύμνητε Θεοκυῆτορ, τοὺς ἐμοὺς λογισμούς, σαῖς πρεσβείαις ἐκκαθάρασα, δεῖξον εὔκαρπόν με, Μήτηρ τοῦ πάντων Θεοῦ.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ δ'

Ἐπέβης ἐφ' ἵππους

ἦχος πλ.δ'

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπέβη ὡς λέων, ἀγριωπῶς λυμαινόμενος, τὴν Χριστοῦ Ἐκκλησίαν ὁ Σαῦλος ποτέ, τιθασευθεὶς δὲ θείᾳ φωνῇ τοῦ ἀμνοῦ τοῦ Θεοῦ, ἣν ἐδίωκε ποίμνην, οἷά περ ποιμήν ἐγχειρίζεται.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ μέλλων φωτίζειν, τὴν οἰκουμένην σκοτίζεται, Ἀνανίας δὲ τούτῳ ἀπέσταλται, τὸ τῆς ψυχῆς φέγγος διδοὺς καὶ τοῦ σώματος, ἐκ θείας ἐμφανείας, σκεῦος ἐκλογῆς διδαχθεὶς αὐτόν.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Τῷ Παύλῳ ἀξίως, ἡ Δαμασκὸς ἐναβρύνεται· ἐκ γὰρ ταύτης, ὡς ἐκ παραδείσου ποτέ, ναμάτων θείων, οὗτος προῆλθε μεγίστη πηγή, καὶ ἐμέθυσε πᾶσαν, τῇ θεογνωσίᾳ ἀφθόνως τὴν γῆν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Καθεῖλε δυνάστας, ἀπὸ τῶν θρόνων ὁ Κύριος, ἡ Παρθένος καὶ ἡ Μήτηρ, ὡς ἔφησε, τοὺς δὲ πεινῶντας, θείων ἀγαθῶν ἐνέπλησε, τοὺς πίστει μελῳδοῦντας· Δόξα τῇ δυνάμει σου Κύριε.

Κανὼν α' τῆς ἑορτῆς, ᾠδὴ ε'

ἦχος βαρὺς

«Τὸ διὰ τὸν φόβον σου ληφθὲν Κύριε, ἐν γαστρὶ τῶν προφητῶν, καὶ κυηθὲν ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας, ἀποστολικὰς καρδίας κτίζει καθαράς, καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται· φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡ ἐπιφοιτήσασα ἰσχὺς σήμερον, αὕτη Πνεῦμα ἀγαθόν, Πνεῦμα σοφίας Θεοῦ, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευτόν, καὶ δι' Υἱοῦ πιστοῖς ἡμῖν πεφηνός, μεταδοτικόν, ἐν οἷς κατοικίζεται φύσει, τῆς ἐν ᾗ κατοπτεύεται ἁγιότητος.

Κανὼν β' τῆς ἑορτῆς, ᾠδὴ ε'

ἦχος δ'

«Λυτήριον κάθαρσιν ἀμπλακημάτων, πυρίπνοον δέξασθε Πνεύματος δρόσον, ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας, νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος, ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καθώς περ εὐδόκησεν αὐτεξουσίως, ἀδέσποτον κάτεισι Πνεῦμα πατρόθεν, σοφίζον ἐν γλώσσησι τοὺς ἀποστόλους, ἐπισφραγίζον τὸν φερέσβιον Λόγον, πατροσθενὲς ξύμμορφον, ὃν Σωτὴρ ἔφη.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰῆτο τὰς φρένας μὲν ἐξ ἁμαρτίας, χ᾽ αὐτῷ κατεσκεύαζε τῶν ἀποστόλων, Θεὸς Λόγος πάνταρχος, ἄχραντον δόμον. Ὁμοσθενοῦς δὲ καὶ συνουσιουμένου, νῦν ἐγκατοικίζεται Πνεύματος φάος.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ ε΄

Ὁ κτησάμενος ἡμᾶς — ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν ἐκ πόθου εἰληφὼς, παρρησίαν πρὸς Θεόν, ἀξίως ἐθαυμάζετο, ὁ ἁλιεὺς καὶ ἀγροῖκος, τερατουργῶν παραδόξως τῇ χάριτι.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐ χρυσίον διὰ σέ, οὐκ ἀργύριον Χριστέ, ὁ θεῖός σου ἀπόστολος, ἀλλ᾽ ἀρετὴν κτησάμενος, τὴν τῶν θαυμάτων ἐπλούτησε δύναμιν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Κατηρτίζοντο σφυρά, καὶ αἱ βάσεις τῶν χωλῶν, τῷ ἐνεργεῖ σου ῥήματι· διὰ γὰρ θείου Πνεύματος, ἀπετελεῖτο παράδοξα πράγματα.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Σεσωμάτωται Θεός, καθ᾽ ὑπόστασιν Ἁγνή, ἐκ σοῦ σαρκὶ ἑνούμενος, μεμενηκὼς οὐκ ἔλαττον, κατὰ τὴν θείαν οὐσίαν ἀσώματος.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ ε΄

Φώτισον ἡμᾶς — ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ τὸ ἀληθές, ἐξελέξω Παῦλε καύχημα, τὸν σταυρὸν τοῦ βασιλέως Χριστοῦ, ἀεὶ βαστάζων, ὥσπερ τρόπαιον ἀπόστολε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοὶ τὸ ζῆν Χριστός, τὸ θανεῖν δὲ κέρδος ἄριστον· τῷ γὰρ πόθῳ συνεσταύρωσαι, τῷ σταυρωθέντι δι᾽ ἡμᾶς, ὦ Παῦλε ἔνδοξε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Χαίροις ἀληθῶς, ἐν Κυρίῳ Παῦλε τίμιε, ἐκδημήσας ἐκ τοῦ σώματος, καὶ ἐνδημήσας πρὸς Χριστόν, τὸν ζωοδότην Θεόν.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Χαίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον, ἡ τῆς προμήτορος ἀνάκλησις, καὶ τῆς κατάρας, ἡ λύσις τοῦ προπάτορος.

Κανὼν α΄ τῆς ἑορτῆς, ᾠδὴ ς΄

ἦχος βαρὺς

«Ναυτιῶν τῷ σάλῳ, τῶν βιοτικῶν μελημάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι· Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐκ τοῦ Πνεύματός σου, σάρκα ἐπὶ πᾶσαν, ὡς εἶπας, πλουσίως ἐξέχεας, καὶ ἐπληρώθη τῆς σῆς ἡ σύμπασα γνώσεως Κύριε· ὅτι ἐκ Πατρὸς Υἱὸς ἀρρεύστως ἔφυς, καὶ τὸ Πνεῦμα ἀμερίστως πρόεισιν.

Κανὼν β΄ τῆς ἑορτῆς, ᾠδὴ ς΄

ἦχος δ΄

«Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία, ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, Ἵν, ὡς προφήτην θηρὸς ἐκ θαλαττίου, στέρνων Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσῃς, ὅλον τὸν Ἀδάμ, παγγενῆ πεπτωκότα».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἱμερτὸν ἡμῖν εὐθὲς ἐν τοῖς ἐγκάτοις, αἰωνίως ἕξουσι Πνεῦμα καινίσαις, πατροπροβλήτως πάντοτε ξυνημμένον, ὕλης ἀπεχθοῦς καυστικῶν μολυσμάτων, ῥύπου τε φρενῶν ῥυπτικὸν Παντοκράτορ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὀρεκτὸν ἀξίωμα τοῖς ἀποστόλοις, Σιωνίταις μίμνουσι σὴν παρουσίαν, γνώρισμα Πνεῦμα πατρογεννήτου Λόγου, λέσχην ἀπηνῆ τῶν ἐθνῶν ποππυσμάτων, ὤκιστα δεικνύς, πυρπνόως καθιδρύεις.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ ς΄

Ἐν κήτει Χριστὲ τριημερεύσας

ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς πάλαι Χριστὲ τῇ δεξιᾷ σου, ἐν ὑγρᾷ πεζεύοντα Πέτρον διέσωσας, κἀμὲ βυθιζόμενον, σάλῳ δεινῶν πειρασμῶν ὑπεξάγαγε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀφῆκας ὦ Πέτρε τὰ μὴ ὄντα, καὶ τὰ ὄντα ἔφθασας, ὥσπερ τις ἔμπορος, καὶ σαφῶς ἡλίευσας, τὸν μαργαρίτην Χριστὸν τὸν πολύτιμον.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πειράζειν ἀφρόνως οἰηθέντας, Πνεῦμα τὸ πανάγιον, Πέτρε ἐνέκρωσας, ὃ ἐθεολόγησας πρῶτος, τρανώσας Θεὸν παμμακάριστε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὸν πάσης ἐπέκεινα οὐσίας, Λόγον Θεοῦ τέτοκας, σεσαρκωμένον ἡμῖν· διὸ σε Θεοτόκον, χείλεσί τε καὶ ψυχῇ καταγγέλλομεν.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ ς΄

Τὴν δέησιν ἐκχεῶ — Ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἁπάντων περιφρονήσας τῶν τερπνῶν, βεβλημένος τοῦ Δεσπότου τῷ φίλτρῳ, καὶ τῆς κοινῆς, σωτηρίας τῆς πόθῳ, διαμαρτεῖν αὐτοῦ αἱρετισάμενος, ὦ Παῦλε μακάριε καὶ νῦν, ὑπὲρ τῆς οἰκουμένης ἱκέτευε.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀξίως σοι ἐδωρήσατο Χριστός, τὸ πολίτευμα ἀπόστολε Παῦλε, ἐν οὐρανοῖς· μένουσαν γὰρ ἐνταῦθα, οὐκ ἐπεπόθησας πόλιν μακάριε, πιστὸς ὑπηρέτης γεγονώς, οἰκονόμος τε τῶν μυστηρίων αὐτοῦ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὡς ἄριστος τοῦ Δεσπότου μιμητής, καὶ αὐτὸν ἐνδεδυμένος ὁ Παῦλος, εἰλικρινῶς, πᾶσι γέγονε πάντα, ἵνα τοὺς πάντας κερδήσῃ καὶ σώσῃ λαούς, καὶ ἔσωσεν ὡς ἀληθῶς, τῷ Χριστῷ σαγηνεύσας τὰ πέρατα.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἐπέβλεψεν ἐπὶ σοὶ ὁ Κύριος, τὴν ἐμὴν ἀνακαινίζων οὐσίαν, ὡς δυνατός, μεγαλεῖα ποιήσας, Θεογεννῆτορ ὡς ἔφης πανάμωμε, καὶ ἔσωσέ με διὰ σοῦ, ἐκ φθορᾶς ὁ Θεός μου ὡς εὔσπλαγχνος.

Συναπτὴ

Ἔτι καὶ ἔτι...	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον...	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου...	Σοί, Κύριε.
Σὺ γὰρ εἶ ὁ βασιλεὺς...	Ἀμήν.

Κοντάκιον τῶν κορυφαίων

ἦχος β΄

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους κήρυκας, τὴν κορυφὴν τῶν μαθητῶν σου Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν· τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἀποστόλου Παπαχρήστου

Οἶκος

Τράνωσόν μου τὴν γλῶτταν Σωτήρ μου, πλάτυνόν μου τὸ στόμα, καὶ πληρώσας αὐτό, κατάνυξον τὴν καρδίαν μου, ἵνα οἷς λέγω ἀκολουθήσω, καὶ ἃ διδάσκω, ποιήσω πρῶτος· πᾶς γὰρ ποιῶν καὶ διδάσκων, φησίν, οὗτος μέγας ἐστίν· ἐὰν γὰρ λέγω μὴ πράττων, ὡς χαλκὸς ἠχῶν λογισθήσομαι. Διὸ λαλεῖν μοι τὰ δέοντα, καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Συναξάριον

Τῇ κθ΄ τοῦ μηνὸς Ἰουνίου, μνήμη τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων καὶ πρωτοκορυφαίων, Πέτρου καὶ Παύλου.

Σταύρωσις εἷλε κήρυκα Χριστοῦ Πέτρον,
Τομὴ δὲ Παῦλον, τὸν τεμόντα τὴν πλάνην.
Τλῆ ἐνάτῃ σταυρὸν Πέτρος εἰκάδ᾽ ἄορ δέ γε Παῦλος.

Ταῖς τῶν ἁγίων καὶ πανευφήμων ἀποστόλων πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Κανὼν α΄ τῆς ἑορτῆς, ᾠδὴ ζ΄

ἦχος βαρὺς

«Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες ὅσιοι Παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον, διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα τῶν Ἀποστόλων, τοῦ Πνεύματος ἡ ἐνέργεια, ἐνομίζετο μέθη τοῖς ἀπιστοῦσι, δι᾽ ἧς Τριὰς γνωρίζεται, εἷς Θεὸς τῶν πατέρων ἡμῶν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὴν ἀδιαίρετον φύσιν ὀρθοδόξως θεολογοῦμεν· Θεὸν πατέρα τὸν ἄναρχον, τῆς αὐτῆς ἐξουσίας Λόγον καὶ Πνεῦμα· εὐλογητὸς εἶ, κράζοντες, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Κανὼν β΄ τῆς ἑορτῆς, ᾠδὴ ζ΄

ἦχος δ΄

«Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος, σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη, ἰσοσθενής, ἄναρχος, εὐλογητὸς εἶ».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Φωνὴν προφητόφθεγκτον ἠγνοηκότες, ἔφασκον οἰνότευκτον ἄφρονες μέθην. Ῥήσεις ξενηκούσθησαν ὡς ἀποστόλων. Οἱ εὐσεβεῖς δέ, σοὶ βοῶμεν ἐνθέως. Νεουργὲ τοῦ σύμπαντος, εὐλογητὸς εἶ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα, ἔνθους Ἰωὴλ τοῦ θεαρχικωτάτου οἷς ἐκχεῶ, φήσαντος οἷά περ Λόγου, τοῦ Πνεύματός μου, συμβοήσουσι· φύσις, ἡ τρισσοφεγγόφωτος, εὐλογητὸς εἶ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τριττὴ μὲν εὐμοίρησεν ὡρῶν τὴν χάριν, ὅπως ὑπεμφήνειε τρεῖς ὑποστάσεις, Σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας, ἀλλ᾽ ἐν μιᾷ νῦν ἡμερῶν τῇ Κυρίᾳ, Υἱὸς Πατήρ, καὶ Πνεῦμα, εὐλογητὸς εἶ.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ ζ΄

Ὁ ἐν ἀρχῇ ἄναρχος Λόγος

ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸ συμπαθὲς θείᾳ προνοίᾳ, τοῦ Χριστοῦ παιδευόμενος, ἐκμιμεῖσθαι συγχωρῇ, τὸ πρὸ τοῦ πάθους Πέτρε τῆς ἀρνήσεως, ὑποστῆναι κλυδώνιον.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοὶ ὁ Χριστὸς πρώτῳ κληθέντι, καὶ σφοδρῶς ἀγαπήσαντι, ὡς προέδρῳ εὐκλεῶς, τῶν Ἀποστόλων, πρώτῳ ἐμφανίζεται, ἀναστὰς ἐκ τοῦ μνήματος.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοῦ τὸ τρισσὸν τῆς πρὸ τοῦ πάθους, ἐξαλείφων ἀρνήσεως, ὁ Δεσπότης τῷ τρισσῷ τῆς θεοφθόγγου ἐρωτήσεως, βεβαιοῖ τὴν ἀγάπησιν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς πρὸς Χριστὸν Πέτρε φιλίας, προετίθεσο μάρτυρα, τὸν τὰ πάντα ὡς Θεὸν εἰδότα Λόγον· ὅθεν καὶ τὸ φίλτατον, ἐγχειρίζει σοι ποίμνιον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Τὴν ἐν γαστρὶ τὸν πρὸ αἰώνων, ἐκ Πατρὸς ἀνατείλαντα, Θεὸν Λόγον ἐν σαρκὶ συνειληφυῖαν, πάντες μακαρίσωμεν, ὡς Μητέρα τοῦ πάντων Θεοῦ.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ ζ΄

Ἐν πεδίῳ Δεειρᾷ

ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐχρημάτισε Χριστέ, σφραγὶς καὶ στέφανος τῶν Ἀποστόλων σου, ὁ ἐπ᾽ ἐσχάτων κληθεὶς τῶν χρόνων, σπουδῇ πάντας ὑπερβάλλων δέ, μεθ᾽ οὗ ὁ λαὸς τῆς Ἐκκλησίας ψάλλει σοι, ὁ τῶν πατέρων ἡμῶν, Θεὸς Εὐλογητὸς εἶ.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Εἰ καὶ ἐδίωξε τὸ πρίν, τὴν Ἐκκλησίαν σου Παῦλος ὁ δέσμιος, ἀλλ᾽ ὑπερέβη τὴν πάλαι τόλμαν, τῷ σῷ ζήλῳ τῷ ἐπ᾽ ἐσχάτων· συνήγαγε γὰρ Χριστέ, τὰ ἔθνη κράζοντα· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ ἐξ Ἱερουσαλὴμ κηρύξας, ἅπασι τὸ Εὐαγγέλιον, περιλαβων δὲ ἐν κύκλῳ πᾶσαν τὴν γῆν, μέχρι τερμάτων Παῦλε τοῦ Ἰλλυρικοῦ, διδάσκων ἀνεκραύγαζες· ὁ τῶν πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἐν ἐκστάσει ἐπαρθείς, τὸν τρίτον ἔφθασας πόλον Πανόλβιε, καὶ ἐπακούσας ἀρρήτων λόγων βοᾷς· Δόξα τῷ ἀνωτάτῳ Πατρί, καὶ τῷ Υἱῷ ἀπαυγάσματι συνθρόνῳ, τῷ ἐρευνῶντι σαφῶς Πνεύματι Θεοῦ τὰ βάθη.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ὡς ἐπὶ πόκον ὑετός, ἐν σοὶ κατέβη Παρθένε Χριστὸς ὁ Θεός, καὶ σαρκοφόρος ἐκ σοῦ προῆλθεν, ἑνῶν τὰ πρὶν διεστηκότα, εἰρήνην ἐν γῇ, καὶ οὐρανῷ δωρούμενος, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογημένος.

Κανὼν α΄ τῆς ἑορτῆς, ᾠδὴ η΄

ἦχος βαρὺς

«Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ζωτικῆς ἐξ ὕψους βιαίας φερομένης, ἠχητικῶς τοῦ Πνεύματος τοῦ παναγίου, ἁλιεῦσι πνοῆς, πυρίνων εἴδει γλωσσῶν, τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐρρητορεύοντο· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Οἱ μὴ θιγομένῳ προβαίνοντες ἐν ὄρει, μὴ πεφρικότες πῦρ δειματοῦν, δεῦτε καὶ στῶμεν ἐν τῷ ὄρει Σιών, ἐν πόλει ζῶντος Θεοῦ, πνευματοφόροις μαθηταῖς νῦν συγχορεύοντες· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν β' τῆς ἑορτῆς, ᾠδὴ η'

ἦχος δ'

«Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα, ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος, ὑμνοῦσι παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργόν, ὡς εὐεργέτην, ἡ δημιουργηθεῖσα σύμπασα κτίσις».

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μνήμην ὁ Χριστὸς τῶν βροτοσσόων ἐπῶν, ἃ πατρακουσθεὶς τοῖς Ἀποστόλοις ἔφη, Τὸ Πνεῦμα τεύχει γλωσσοπυρσεύτῳ θέᾳ, Ἐφίζον· εὐλογητὸν οἰκειουμένη, ἠλλοτριωμένη δὲ μέλπει σε κτίσις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σωτηριωδῶς, αὐτοδεσπότως ἰόν, φῶς αὐτολαμπές, καὶ παρεκτικὸν φάους, ὑπάρχον, ἧκες ἐμφοροῦν ἀποστόλοις, τιμῆεν ὡς ἄημα· τοῖς σοῖς οἰκέταις, λελιπαρημένον δὲ Πνεῦμα προσνέμοις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἧσε προφητῶν πνευματέμφορον στόμα, σὴν σωματωδῶς, ὦ μέδων, ἐνδημίαν, καὶ Πνεῦμα κόλπων πατρικῶν προηγμένον, ἀκτιστοσυμπλαστουργοσύνθρονον σέθεν, ἰεὶς ἐνανθρωπήσεως πιστοῖς σέβας.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ η'

Ὁ τὰ σύμπαντα φέρων

ἦχος δ'

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκτενοῦσί σου χεῖρας, καὶ σταυρῷ σε περιζώσουσιν, ὁ Δεσπότης προφητεύων, Πέτρε προστάττει ἕπεσθαι κράζοντα· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῷ τῆς χάριτος λόγῳ, τὸν μὲν Αἰνέαν παρειμένον δεινῶν, Ταβιθὰν δὲ θανοῦσαν, τερατουργῶν ἀνέστησας κράζοντας· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὁ τῷ Πέτρῳ τὰ ἔθνη, κεκαθαρμένα ἀποφήνας Χριστέ, τῇ τοῦ Πνεύματος αἴγλῃ, κἀμοῦ τὰς φρένας κάθαρον κράζοντος· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἐν μιᾷ σοι σκηνοῦσα, τῶν ἑαυτῆς ἁγίων ὑποστάσεων, ἡ Θεότης Παρθένε, ὅλη μοι ὅλῳ ἥνωται· ὅθεν σε ὡς Μητέρα, τοῦ Θεοῦ ἡμῶν μακαρίζομεν.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ η΄

Τὸν ἐν ὄρει ἁγίῳ

ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Συνεκράθη τῷ πόθῳ σου ὁ Παῦλος, τὴν καλὴν δὲ ἀλλοίωσιν ἐξέστη· οὐχ ἑαυτῷ γὰρ ἔζη ὁ ἀοίδιμος, εἶχε δὲ οἰκτίρμον, ζῶντα ἐν αὐτῷ σε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ ἡρμόσω ὡς νύμφην παραστῆσαι, τῷ νυμφίῳ Χριστῷ τὴν Ἐκκλησίαν· νυμφαγωγὸς γὰρ ταύτης ἀναδέδειξαι, Παῦλε θεοφόρε· ὅθεν κατὰ χρέος, τὴν μνήμην σου γεραίρει.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἠγωνίσω τὸν κάλλιστον ἀγῶνα, καὶ τελέσας τὸν δρόμον σου νομίμως, Χριστῷ προσῆλθες χαίρων παναοίδιμε· ὅθεν τῶν στεφάνων, Παῦλε ἠξιώθης, τῶν τῆς δικαιοσύνης.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Χαῖρε θρόνε πυρίμορφε Κυρίου, χαῖρε νύμφη ἀνύμφευτε Παρθένε, Χαῖρε νεφέλη ἥλιον ἐκλάμψασα, τῆς δικαιοσύνης, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν ἀπ. Πέτρου, ᾠδὴ θ΄

Σὲ τὴν ὑπερένδοξον νύμφην

ἦχος δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοῦ ἡ ὑπερβάλλουσα χάρις, δημοσιεύεται ἀξίως, τῆς σκιᾶς σου τὰ πάθη τῶν ἀσθενούντων, Πέτρε φυγαδευούσης· διὸ σε μεγαλύνομεν.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Φάσμασι τὸν Σίμωνα μάγον, τὸν θεομάχον ἐπαρθέντα, πρὸς αἰθέριον ὕψος, καταβαλὼν ἀρρήτῳ θείᾳ δυνάμει, ὁ Πέτρος μακαρίζεται.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν πλημμελημάτων τὴν λύσιν, ταῖς ἱκεσίαις σου παράσχου, φωτισμόν τε καρδίας, καὶ εὐφροσύνην πνεύματος τοῖς ὑμνοῦσι, τὴν μνήμην σου ἀπόστολε.

Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Θεὸν συλλαβοῦσα Παρθένε, κυριοτόκος ὀνομάζῃ, κατ᾽ ἀξίαν· διὸ σε, οἱ πιστοὶ συμφώνως δοξολογοῦντες, ἐν ὕμνοις μεγαλύνομεν.

Κανὼν ἀπ. Παύλου, ᾠδὴ θ΄

Ὅρους παρῆλθες τῆς φύσεως ἦχος πλ.δ΄

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σοῦ προσκυνοῦμεν τὴν ἅλυσιν, ἣν ὑπὲρ Χριστοῦ ὡς κακοῦργος ἐφόρεσας, τὰ στίγματά τε Παῦλε περιπτυσσόμεθα, ἃ ἐν τῷ εὐκλεεῖ σου, καὶ νικηφόρῳ φέρεις σώματι.

Ἀπόστολε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νῦν ἀναλύσας Ἀπόστολε, πρὸς τὸν ὑπὸ σοῦ ἀενάως ποθούμενον, αὐτῷ τε ὡς θεράπων συναυλιζόμενος, ἀπαύστοις ἱκεσίαις, τοὺς σοὺς ἱκέτας πρὸς σὲ ἕλκυσον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Νῦν οὐδαμῶς ἐν αἰνίγματι, οὐδὲ ἐν ἐσόπτρῳ Χριστὸς σοι ὀπτάνεται, πρὸς πρόσωπον δὲ μᾶλλον ὁρᾶται πρόσωπον, τελείαν σοι τὴν γνῶσιν ἀποκαλύπτων τῆς Θεότητος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Λόγον ἐδέξω τὸν ἄσαρκον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα Παρθένε τέτοκας· διὸ σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Εἰς τὴν εἴσοδον τοῦ ἀρχιερέως

Καταβασίαι τῆς Πεντηκοστῆς

Ὠδὴ α΄ ἦχος βαρὺς

Πόντῳ ἐκάλυψε Φαραὼ σὺν ἅρμασιν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι, ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

ἦχος δ΄

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ. Ἐρρητόρευσε τὸν θεόγραφον νόμον· ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου, ὁρᾷ τὸν ὄντα, καὶ μυεῖται Πνεύματος γνῶσιν, γεραίρων ἐνθέοις τοῖς ᾄσμασιν.

Ὠδὴ γ΄ ἦχος βαρὺς

Τὴν ἐξ ὕψους δύναμιν τοῖς μαθηταῖς, Χριστέ, ἕως ἂν ἐνδύσησθε ἔφης, καθίσατε ἐν Ἱερουσαλήμ, ἐγὼ δὲ ὡς ἐμὲ Παράκλητον ἄλλον, Πνεῦμα τὸ ἐμόν τε καὶ Πατρός ἀποστελῶ, ἐν ᾧ στερεωθήσεσθε.

ἦχος δ΄

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας, ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης, μόνη προσευχὴ τῆς προφήτιδος πάλαι Ἄννης, φερούσης πνεῦμα συντετριμμένον, πρὸς τὸν δυνάστην, καὶ Θεὸν τῶν γνώσεων.

Ὠδὴ δ΄ ἦχος βαρὺς

Κατανοῶν ὁ προφήτης, τὴν ἐπ᾽ ἐσχάτων σου Χριστὲ ἔλευσιν, ἀνεβόα· τὴν σὴν εἰσακήκοα Κύριε δυναστείαν, ὅτι πάντας τοῦ σῶσαι, τοὺς χριστούς σου ἐλήλυθας.

ἦχος δ΄

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἴου μόνος, Λόγος προελθών, Πατρὸς ἐξ ἀναιτίου. Ἰσοσθενές σου Πνεῦμα τοῖς ἀποστόλοις, νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης, ᾄδουσι· Δόξα τῷ κράτει σου, Κύριε.

Ὠδὴ ε΄ ἦχος βαρὺς

Τὸ διὰ τὸν φόβον σου ληφθὲν Κύριε, ἐν γαστρὶ τῶν προφητῶν, καὶ κυηθὲν ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας, ἀποστολικὰς καρδίας κτίζει καθαράς, καὶ ἐν τοῖς πιστοῖς εὐθὲς ἐγκαινίζεται· φῶς γὰρ καὶ εἰρήνη, διότι τὰ σὰ προστάγματα.

ἦχος δ΄

Λυτήριον κάθαρσιν ἀμπλακημάτων, πυρίπνοον δέξασθε Πνεύματος δρόσον, ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας· νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος, ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ὠδὴ ς΄ ἦχος βαρὺς

Ναυτιῶν τῷ σάλῳ, τῶν βιοτικῶν μελημάτων, συμπλόοις ποντούμενος ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσριπτούμενος, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι· Ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

ἦχος δ΄

Ἱλασμὸς ἡμῖν Χριστὲ καὶ σωτηρία, ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου, ἵν ὡς προφήτην θηρὸς ἐκ θαλαττίου, στέρνων Ἰωνᾶν, τῆς φθορᾶς διαρπάσῃς, ὅλον τὸν Ἀδάμ, παγγενῆ πεπτωκότα.

Ὠδὴ ζ΄ ἦχος βαρὺς

Οἱ ἐν καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες ὅσιοι παῖδες, τὸ πῦρ εἰς δρόσον μετέβαλον, διὰ τῆς ὑμνῳδίας, οὕτω βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ἦχος δ΄

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος, σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας. Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις, σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη, ἰσοσθενής, ἄναρχος, εὐλογητὸς εἶ.

Ὠδὴ η΄ ἦχος βαρὺς

Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Ἄφλεκτος πυρὶ ἐν Σινᾷ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ καὶ παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους τῷ πυρὶ ὑμνῳδοὺς ἔδειξε· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ἦχος δ΄

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα, ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος, ὑμνοῦσι παῖδες, εὐλογεῖ δὲ τὸν μόνον, Σωτῆρα καὶ παντουργόν, ὡς εὐεργέτην, ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

Ἀργαὶ	Σύντομοι	
Πέτρου Λαμπαδαρίου	Ἰωάννου Πρωτοψάλτου	Γαβριὴλ Κουντιάδου
	Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

κανὼν α΄, ᾠδὴ θ΄ ἦχος βαρὺς

«Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου πλαστουργοῦ σου, σὲ μεγαλύνομεν». (β΄)

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐπιπαφλάζοντος πάλαι πυρίνου ἅρματος, ὁ ζηλωτὴς καὶ πυρίπνους χαίρων ὀχούμενος, τὴν νῦν ἐκλάμψασαν ἐπίπνοιαν ἐδήλου, ἐξ ὕψους ἀποστόλοις, ὑφ᾽ ἧς καταλαμφθέντες, τὴν Τριάδα πᾶσιν ἐγνώρισαν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νόμου τῶν φύσεων δίχα ξένον ἠκούετο· τῶν μαθητῶν τῆς μιᾶς γὰρ φωνῆς ἀπηχουμένης, Πνεύματος χάριτι, ποικίλως, ἐνηχοῦντο, λαοί, φυλαὶ καὶ γλῶσσαι, τὰ θεῖα μεγαλεῖα, τῆς Τριάδος γνῶσιν μυούμενοι.

κανὼν β΄, ᾠδὴ θ΄ ἦχος δ΄

Ἀπόστολοι, τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐξεπλήττοντο,
ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου.

«Χαίροις ἄνασσα, μητροπάρθενον κλέος. Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως. Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν». (β΄)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Ἀπόστολοι, τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐξεπλήττοντο,
ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου.

Ὕδειν ἔοικε τὴν φυσίζωον κόρην. Μόνη γὰρ ἐν δίνησι κεκρύφει Λόγον νοσοῦσαν ἀλθαίνοντα τὴν βροτῶν φύσιν. Ὃς δεξιοῖς κλισμοῖσι νῦν ἱδρυμένος Πατρός, πέπομφε τὴν χάριν τοῦ Πνεύματος.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀπόστολοι, τὴν χάριν τοῦ Παρακλήτου, λαβόντες ἐξεπλήττοντο,
ἑτέραις γλώσσαις λαλοῦντες, καθὼς τὸ Πνεῦμα ἐδίδου.

Ὅσοις ἔπνευσεν ἡ θεόρρυτος χάρις, λάμποντες, ἀστράπτοντες, ἠλλοιωμένοι, ὀθνείαν ἀλλοίωσιν εὐπρεπεστάτην ἰσοσθενοῦσαν τὴν ἄτμητον εἰδότες, σοφὴν τρίφεγγον οὐσίαν δοξάζομεν.

Ἰωάννου Πρωτοψάλτου	Γαβριὴλ Κουντιάδου
Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη

Καταβασίαι θ' ᾠδῆς

ἦχος βαρὺς

Μὴ τῆς φθορᾶς διαπείρᾳ κυοφορήσασα, καὶ παντεχνήμονι Λόγῳ σάρκα δανείσασα, Μῆτερ ἀπείρανδρε, Παρθένε Θεοτόκε, δοχεῖον τοῦ ἀστέκτου, χωρίον τοῦ ἀπείρου πλαστουργοῦ σου, σὲ μεγαλύνομεν.

ἦχος δ'

Χαίροις ἄνασσα, μητροπάρθενον κλέος. Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα, ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως. Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον νοεῖν· ὅθεν σε συμφώνως δοξάζομεν.

Ἀργαὶ	Σύντομοι	
Πέτρου Λαμπαδαρίου	Ἰωάννου Πρωτοψάλτου	Γαβριὴλ Κουντιάδου
Ἰωάννου Πρωτοψάλτου	Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη

Συναπτὴ

Ἔτι καὶ ἔτι...	Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον...	Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου...	Σοί, Κύριε.
Ὅτι σὲ αἰνοῦσι...	Ἀμήν.

Ἐξαποστειλάρια

ἦχος γ' Τῆς ἑορτῆς

Τὸ πανάγιον Πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ Πατρός, καὶ δι' Υἱοῦ ἐνδημῆσαν, τοῖς ἀγραμμάτοις μαθηταῖς, τοὺς σὲ Θεὸν ἐπιγνόντας, σῶσον, ἁγίασον πάντας.

Γυναῖκες ἀκουτίσθητε ἦχος β' Τοῦ Μηναίου

Τῶν ἀποστόλων ἅπαντες, τὴν κορυφὴν ὑμνήσωμεν, Πέτρον καὶ Παῦλον τοὺς θείους, τῆς οἰκουμένης φωστῆρας, τοὺς κήρυκας τῆς πίστεως, τὰς θεολόγους σάλπιγγας, δογμάτων τοὺς ἐκφάντορας, τῆς Ἐκκλησίας τοὺς στύλους, καὶ καθαιρέτας τῆς πλάνης.

ἦχος γ΄ — Τῆς ἑορτῆς

Φῶς ὁ Πατήρ, φῶς ὁ Λόγος, φῶς καὶ τὸ ἅγιον Πνεῦμα, ὅπερ ἐν γλώσσαις πυρίναις, τοῖς ἀποστόλοις ἐπέμφθη, καὶ δι᾽ αὐτοῦ πᾶς ὁ κόσμος φωταγωγεῖται, Τριάδα σέβειν ἁγίαν.

Κωνσταντίνου Παπαγιάννη

χοροστατοῦντος ἀρχιερέως

Ἦχος λ ἡ Νη

π. Ἱεροθέου Ἱερομονάχου
Αθωνική Μουσική Ανθοδέσμη
Εσπερινός 1991 σ.97-99#

Κ ε λευ σον δε σπο τα + α α α α γι ε ζ΄ λ η η χος

τε ταρ τος ν΄ ῆ

Αἶνοι

ἦχος δ΄

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον· αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.
Αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ· σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Πέτρου Λαμπαδαρίου	Ἰακώβου Πρωτοψάλτου	Ἰωάννου Πρωτοψάλτου
Κωνσταντίνου Πρίγγου		Γαβριήλ Κουντιάδου
Ἀθανασίου Καραμάνη		Κωνσταντίνου Παπαγιάννη
Γεωργίου Πρωγάκη	☜ Τὸν δεσπότην ☞	Δημοσθένους Παϊκοπούλου

Ἄνωθεν οἱ προφῆται

Στιχολογία

ψαλμὸς ρμη΄ 148

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη, αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα, καὶ πᾶσαι κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ τῆς γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

ψαλμὸς ρμθ΄ 149

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς.
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.

Κωνσταντίνου Παπαγιάννη

ἦχος δ΄

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Παράδοξα σήμερον εἶδον τὰ ἔθνη πάντα ἐν πόλει Δαυΐδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ ἅγιον ἐν πυρίναις γλώσσαις, καθὼς ὁ θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. Φησὶ γάρ· Συνηγμένων τῶν μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι, καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς ἁγίας Τριάδος.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Τὸ Πνεῦμα τὸ ἅγιον, ἦν μὲν ἀεί, καὶ ἔστι καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ᾽ ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον καὶ συναριθμούμενον; ζωή, καὶ ζωοποιοῦν, φῶς καὶ φωτὸς χορηγόν, αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος· δι᾽ οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται, μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς ἁγίας Τριάδος.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Τὸ Πνεῦμα τὸ ἅγιον, φῶς, καὶ ζωή, καὶ ζῶσα πηγὴ νοερά, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, ἀγαθόν, εὐθές, νοερόν, ἡγεμονεῦον καθαῖρον τὰ πταίσματα, Θεὸς καὶ θεοποιοῦν, πῦρ, ἐκ πυρὸς προϊόν, λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα· δι᾽ οὗ προφῆται ἅπαντες, καὶ Θεοῦ ἀπόστολοι, μετὰ μαρτύρων ἐστέφθησαν. Ξένον ἄκουσμα, ξένον θέαμα, πῦρ διαιρούμενον εἰς νομὰς χαρισμάτων.

Μανουὴλ Πρωτοψάλτου	Παναγιώτου Κηλτζανίδου	Πέτρου Φιλανθίδου
Γαβριὴλ Κουντιάδου	Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη

Προσόμοια Πέτρου κ Παύλου

Ὁ ἐξ ὑψίστου κληθεὶς

ἦχος δ΄

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Ὁ οὐρανόθεν τὴν χάριν δεδεγμένος, ὅτε τὴν ἐρώτησιν πρὸς τὸν χορὸν ὁ Σωτήρ, τὸν δωδεκάριθμον ἔφησε, τῶν ἀποστόλων· Τίνα μὲ λέγουσιν εἶναι ἄνθρωποι; τότε δὴ ὁ πρόκριτος, Πέτρος Χριστοῦ μαθητῶν, θεολογῶν ἀνεκήρυξε, τρανῶς βοήσας· Σὺ εἶ Χριστός, τοῦ ζῶντος Θεοῦ Υἱός. Ὅθεν ἀξίως μακαρίζεται, ὡς ἐξ ὕψους λαβὼν ἀποκάλυψιν, καὶ δεσμεῖν τε καὶ λύειν, τὰς εὐθύνας κομισάμενος.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ὁ ἐξ ὑψίστου κληθείς, οὐκ ἀπ᾽ ἀνθρώπων, ὅτε τὸ ἐπίγειον σκότος ἠμαύρωσε, τοὺς ὀφθαλμοὺς σοῦ τοῦ σώματος, τῆς ἀσεβείας, δημοσιεῦον τὴν σκυθρωπότητα, τότε τὸ οὐράνιον, φῶς περιήστραψε, σῆς διανοίας τὰ ὄμματα, τῆς εὐσεβείας ἀνακαλύπτον τὴν ὡραιότητα· ὅθεν ἐπέγνως τὸν ἐξάγοντα, φῶς ἐκ σκότους Χριστὸν τὸν Θεον ἡμῶν, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.
Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Σὺ ἐπαξίως πέτρα προσηγορεύθης, ἐν ᾗ τὴν ἀκράδαντον πίστιν ὁ Κύριος, τῆς Ἐκκλησίας ἐκράτυνεν, ἀρχιποιμένα, τῶν λογικῶν προβάτων ποιήσας σε, ἐντεῦθεν κλειδοῦχόν σε, τῶν οὐρανίων πυλῶν, ὡς ἀγαθὸς ἐγκατέστησεν, ἀνοίγειν πᾶσι, τῆς μετὰ πίστεως προσεδρεύουσιν· Ὅθεν ἀξίως κατηξίωσαι, σταυρωθῆναι καθὼς ὁ Δεσπότης σου, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Χρυσοστόμου μοναχοῦ	Κωνσταντίνου Παπαγιάννη

Δοξαστικὸν

ἦχος πλ.β΄

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἡ πάνσεπτος τῶν ἀποστόλων, ἐπεδήμησεν ἑορτή, τῇ Ἐκκλησίᾳ Χριστοῦ, προξενοῦσα σωτηρίαν ἡμῖν, μυστικῶς οὖν κροτήσαντες τούτοις προσείπωμεν· Χαίρετε φωστῆρες τῶν ἐν σκότει, τοῦ ἡλίου ἀκτῖνες ὑπάρχοντες. Χαίρετε Πέτρε καὶ Παῦλε, δογμάτων τῶν θείων θεμέλιοι ἀρραγεῖς, φίλοι τοῦ Χριστοῦ, σκεύη τίμια. Πάρεστε μέσον ἡμῶν ἀοράτως, καταξιοῦντες δωρεῶν ἀΰλων, τοὺς τὴν ὑμῶν ἑορτήν, εὐφημοῦντας ᾄσμασι.

Πέτρου Ἐφεσίου	Στεφάνου Λαμπαδαρίου	Παναγιώτου Κηλτζανίδου
Πέτρου Φιλανθίδου		Κωνσταντίνου Πρίγγου
Κωνσταντίνου Παπαγιάννη		Κωνσταντίνου Λάμπρου

Καὶ νῦν

ἦχος πλ.β΄

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγός, ἐλθέ, καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Ἰακώβου Πρωτοψάλτου	Πέτρου Ἐφεσίου	Παναγιώτου Κηλτζανίδου

Γεωργίου Βιολάκη		Πέτρου Φιλανθίδου
Γαβριὴλ Κουντιάδου		Θρασυβούλου Στανίτσα
Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη	Κωνσταντίνου Λάμπρου

Δοξολογία

Σύντομοι		Ἀργαὶ
Πέτρου Λαμπαδαρίου	ἦχος πλ.β΄	Γεωργίου Βιολάκη
Μανουὴλ Πρωτοψάλτου		Γεωργίου Ραιδεστηνοῦ
Μιχαὴλ Χατζηαθανασίου		
Γαβριὴλ Κουντιάδου		

Ἀπολυτίκιον

ἦχος πλ.δ΄

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

Μανουὴλ Πρωτοψάλτου	Παναγιώτου Κηλτζανίδου	Χρυσοστόμου μοναχοῦ
Γαβριὴλ Κουντιάδου	Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη

ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Ἦχος λ π ἡ Νη

Δημητρίου Σουρλαντζή
Θ. Λειτουργία 1992 σ.1*



NH
ΔΙ
Κ υ ρι ε ε λε ε ε η σον
NH
Κ υ ρι ε ε λε ε ε η σον
NH
Κ υ ρι ε ε λε ε ε η σον
NH
Κ υ ρι ε ε λε ε ε η σον
NH
Κ υ ρι ε ε λε ε ε η σον
NH
Κ υ ρι ε ε ε λε η σον
NH
Κ υ ρι ε ε ε λε η σον
NH
Κ υ ρι ε ε λε η σον
NH
ΠΑ
Κ υ ρι ε ε λε ε η σον
NH
Κ υ ρι ε ε λε ε ε η σον

ἕτερα



Ἀντίφωνα

ἀντίφωνον α΄

Ἦχος Δι

∴ Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. 18:2

∴ Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. 18:3

∴ Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. 18:4

∴ Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. 18:5

Πέτρου Λαμπαδαρίου

Ἦχος Δι

Πανδέκτη
1851 σ.26#



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.





Συναπτὴ

Ἔτι καὶ ἔτι… Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον… Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου… Σοί, Κύριε.
Ὅτι σὸν τὸ κράτος… Ἀμήν.

ἀντίφωνον β′

Ἦχος Δι

∴ Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. 19:2

∴ Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. 19:3

∴ Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. 19:4

∴ Δώη σοι Κύριος κατὰ τὴν καρδίαν σου καὶ πᾶσαν τὴν βουλήν σου πληρώσαι. 19:5

Ἦχος Δι

πρωτ.Κων.Παπαγιάννη
Μουσικόν Πεντηκοστάριον
2005 σ.507#



Πανδέκτη, 1851 σ.11#




Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Ο Μο νο γε νης Υι ος και Λο γος του Θε ου α θα
να τος υ παρ χων και κα τα δε ξα με νος δι α την η
με τε ραν σω τη ρι αν σαρ κω θη ναι εκ της Α
γι ας Θε ο το κου και α ει παρ θε νου Μα ρι
ας α τρε πτως εν αν θρω πη σας σταυ ρω θεις τε Χρι
στε ο Θε ος θα να τω θα να τον πα τη σας εις ων
της α γι ας Τρι α α α δος συν δο ξα ζο με
νος τω Πα τρι και τω α γι ω Πνευ μα τι σω σον η μα

α ας

Συναπτὴ

Ἔτι καὶ ἔτι… Κύριε, ἐλέησον.
Ἀντιλαβοῦ, σῶσον… Κύριε, ἐλέησον.
Τῆς παναγίας, ἀχράντου… Σοί, Κύριε.
Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος… Ἀμήν.

ἀντίφωνον γ′ ἦχος πλ.δ′

∴ Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. 20:2

∴ Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. 20:3

∴ Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. 20:4

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

Μανουὴλ Πρωτοψάλτου | Παναγιώτου Κηλτζανίδου | Χρυσοστόμου μοναχοῦ
Γαβριὴλ Κουντιάδου | Χρυσάνθου Θεοδοσοπούλου | Κωνσταντίνου Παπαγιάννη

Εἰσοδικὸν

ἦχος β′

Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.
Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Γαβριὴλ Κουντιάδου | Κωνσταντίνου Παπαγιάννη

Ἀπολυτίκια

Ἀπολυτίκιον τῆς ἑορτῆς

ἦχος πλ.δ΄

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι᾽ αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

Μανουήλ Πρωτοψάλτου	Παναγιώτου Κηλτζανίδου	Χρυσοστόμου μοναχοῦ
Γαβριήλ Κουντιάδου	Χρυσάνθου Θεοδοσοπούλου	Κωνσταντίνου Παπαγιάννη

Ἀπολυτίκιον Πέτρου καὶ Παύλου

ἦχος δ΄

Οἱ τῶν ἀποστόλων πρωτόθρονοι, καὶ τῆς οἰκουμένης διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Μανουήλ Πρωτοψάλτου	Στεφάνου Λαμπαδαρίου	Παναγιώτου Κηλτζανίδου
	Χρυσοστόμου μοναχοῦ	
Κωνσταντίνου Πρίγγου	Κωνσταντίνου Παπαγιάννη	Κωνσταντίνου Λάμπρου

Ἀπολυτίκιον τοῦ ναοῦ

Κοντάκιον

ἦχος πλ.δ΄

Ὅτε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.

Παναγιώτου Κηλτζανίδου	Γαβριήλ Κουντιάδου	Χρυσάνθου Θεοδοσοπούλου

Τοῦ Κυρίου δεηθῶμεν.
Κύριε, ἐλέησον.
Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ἀμήν.

Τρισάγιος Ὕμνος

β΄	βαρὺς

Ἀπόστολος

Προκείμενον. Ἦχος πλ.δ΄. Ψαλμὸς ιη΄.

Πρόσχωμεν

∴ Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ρήματα αὐτῶν. 18:5

∴ Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. 18:2

Σοφία

Πρὸς Κορινθίους β΄ ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα. 11:21-33, 12:1-9

Πρόσχωμεν

Ἀδελφοί, 21 ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω,) τολμῶ κἀγώ. 22 Ἑβραῖοί εἰσι; Κἀγώ· Ἰσραηλῖταί εἰσι; Κἀγώ· Σπέρμα Ἀβραάμ εἰσι; Κἀγώ· 23 Διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ) ὑπὲρ ἐγώ. Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. 24 Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον· 25 τρὶς ἐραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· 26 ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· 27 ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι. 28 Χωρὶς τῶν παρεκτὸς, ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. 29 Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; 30 Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. 31 Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. 32 Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων· 33 καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

